Ακαδημία Αθηνών / Academy of Athens



*σκει φρονεῖν, ἀλλ' ὡραίη τροφὴ καὶ φύσις.* Πρβλ. *τεκνοτροφίη.*

**τροχός.** Τροχός, wheel, Ἀναξίμανδρος Α 21 (DK I 87,5 *καὶ* 11) *τροχοῦ ... τροχῷ* Α 22 (DK I 87,21) *τροχοῦ.*

**τυγχάνειν 1.** Συμβαίνει κατὰ τύχη, it happens by chance, Ξενοφάνης 34.3 *εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών, αὐτὸς ὅμως οὐκ οἶδε* **2.** Συναντῶ/λαβαίνω, meet/obtain, Ἐμπεδοκλῆς 75.2 *Κύπριδος ἐν παλάμῃσι πλάδης τοιῆσδε τυχόντα* 85 *ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τύχε γαίης* Δημόκριτος 166 *εὐλόγχων τυχεῖν εἰδώλων* **3.** Ἐπιτυχαίνω/κατορθώνω, succeed in/achieve, Δημόκριτος 228.3-5 *ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μούνου ⟨μὴ⟩ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός)* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες.* Πρβλ. *κύρειν.*

**τύπος.** Τύπος/μορφή, type/form, Ἐμπεδοκλῆς 62.4 *οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον* Δημόκριτος 228.7 *ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου τοῦ ἐπιμελέος καὶ φειδωλοῦ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**τυραννία** (τύπ. *τυραννίη*). Τυραννία, tyranny, Ξενοφάνης 3.2 *ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς.*

**τυφλός.** Τυφλός, blind, Παρμενίδης 6.7 *κωφοὶ ὁμῶς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα.* Πρβλ. *τυφλοῦν, τυφλότης.*

**τυφλότης.** Τύφλωση/τύφλα, blindness, Δημόκριτος 175.5 *διὰ νοῦ τυφλότητα καὶ ἀγνωμοσύνην.* Πρβλ. *τυφλός, τυφλοῦν.*

**τυφλοῦν.** Τυφλώνω/σκοτίζω, blind/darken, Δημόκριτος 72 *αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἄλλα τὴν ψυχήν.*

**τύχη 1.** Τύχη ὡς ἀντίθετη πρὸς τὴν Ἀνάγκη, Chance as opposed to Necessity, Ἐμπεδοκλῆς 103 *τῇδε μὲν οὖν ἰότητι Τύχης πεφρόνηκεν ἅπαντα* **2.** Τύχη σὲ ἀντιδιαστολὴ πρὸς τὴν ἐλευθε-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ρία τοῦ ἀνθρώπου, chance in contrast to the freedom of man, Δημόκριτος 3.4 *ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν* 119 *ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο πρόφασιν ἰδίης ἀβουλίης. βαιὰ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίῳ εὐξύνετος ὀξυδερκείη κατιθύνει* 176 *τύχη μεγαλόδωρος, ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾷ τῷ ἥσσονι καὶ βεβαίῳ τὸ μεῖζον τῆς ἐλπίδος* 197 *ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης* 210 *τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη* 269 *τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη* **3.** Τύχη/μοίρα, fortune/fate, Δημόκριτος 293.2 *οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.* || **κατὰ τύχην.** Κατὰ τύχην, by chance, Δημόκριτος A 151 (DK II 125,16) *ὄνου ἵππον βιασαμένου κατὰ τύχην κυῆσαι, μαθητὰς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους.* Πρβλ. τυγχάνειν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ